23 Πάντα ταῦτα ἐπείρασα ἐν τῇ σοφίᾳ·
εἶπα Σοφισθήσομαι,
24 καὶ αὐτὴ ἐμακρύνθη ἀπ᾽ ἐμοῦ μακρὰν ὑπὲρ ὃ ἦν,
καὶ βαθὺ βάθος, τίς εὑρήσει αὐτό;
25 ἐκύκλωσα ἐγώ, καὶ ἡ καρδία μου τοῦ γνῶναι
καὶ τοῦ κατασκέψασθαι καὶ ζητῆσαι σοφίαν καὶ ψῆφον
καὶ τοῦ γνῶναι ἀσεβοῦς ἀφροσύνην
καὶ σκληρίαν καὶ περιφοράν.
26 καὶ εὑρίσκω ἐγὼ πικρότερον ὑπὲρ θάνατον,
σὺν τὴν γυναῖκα, ἥτις ἐστὶν θηρεύματα
καὶ σαγῆναι καρδία αὐτῆς,
δεσμοὶ χεῖρες αὐτῆς·
ἀγαθὸς πρὸ προσώπου τοῦ θεοῦ ἐξαιρεθήσεται ἀπ᾽ αὐτῆς,
καὶ ἁμαρτάνων συλλημφθήσεται ἐν αὐτῇ.
27 ἰδὲ τοῦτο εὗρον, εἶπεν ὁ Ἐκκλησιαστής,
μία τῇ μιᾷ τοῦ εὑρεῖν λογισμόν,
28 ὃν ἔτι ἐζήτησεν ἡ ψυχή μου καὶ οὐχ εὗρον·
ἄνθρωπον ἕνα ἀπὸ χιλίων εὗρον
καὶ γυναῖκα ἐν πᾶσι τούτοις οὐχ εὗρον.
29 πλὴν ἰδὲ τοῦτο εὗρον, ὃ ἐποίησεν ὁ θεὸς
σὺν τὸν ἄνθρωπον εὐθῆ,
καὶ αὐτοὶ ἐζήτησαν λογισμοὺς πολλούς.
8 1 Τίς οἶδεν σοφούς; καὶ τίς οἶδεν λύσιν ῥήματος;
σοφία ἀνθρώπου φωτιεῖ πρόσωπον αὐτοῦ,
καὶ ἀναιδὴς προσώπῳ αὐτοῦ μισηθήσεται.
2 στόμα βασιλέως φύλαξον
καὶ περὶ λόγου ὅρκου θεοῦ μὴ σπουδάσῃς·
3 ἀπὸ προσώπου αὐτοῦ πορεύσῃ,
μὴ στῇς ἐν λόγῳ πονηρῷ·
ὅτι πᾶν, ὃ ἐὰν θελήσῃ, ποιήσει,
4 καθὼς λαλεῖ βασιλεὺς ἐξουσιάζων,
καὶ τίς ἐρεῖ αὐτῷ Τί ποιήσεις;
5 ὁ φυλάσσων ἐντολὴν οὐ γνώσεται ῥῆμα πονηρόν,

**23**$^1$ τη > B || **24**$^1$ init. — εμου ad 23 trahit 𝔐 | 24$^2$ αυτην S* || **25**$^2$ ζητησαι B†] pr. του rel. | 25$^4$ σκληριαν pau. = סכלות (cf. 17)] οχληριαν BSA | παραφοραν A†: cf. 2 12 || **26**$^1$ εγω La†] + αυτην mss. (in *O* sub ÷) | πικροτ. A pl.] pr. και ερω BS*†, pr. και ευφροσυνη πλανα και ειπα uel sim. S$^c$V | 26$^2$ θηρευμα BS* | 26$^4$ δεσμοι χειρες La†] δεσμος(-μοι V†) εις χειρας mss. | 26$^6$ αμαρτ.] pr. ο S† || **28**$^1$ ετι εζητ. Gra.] επεζητ. BS, εζητ. A | 28$^2$ ανθρ. La†] pr. και mss. || **29**$^1$ θεος] κυριος A†
**8 1**$^2$ προσωπον] pr. το S† | αυτου > A† || **2**$^2$ θεου > SA | μη σπουδ. ad 3 trahit 𝔐 || **4**$^1$ καθως] και ως S*† | λαλει / βασ. εξουσ. pau.] tr. AS$^c$, λαλει > BS* | 4$^2$ ποιεις B